§. τλθʹ. Καὶ ὁ τοῦ λόγου δὲ χαρακτὴρ τὰ πολλὰ, περὶ τὸ κομψὸν καὶ πανηγυρικὸν σχήμασί τε καὶ τρόποις ἀναιδῶς ἀσελγαίνων, καὶ ἀκολαστῶν, οὐχ ὅπως τὸ σεμνὸν καὶ ἐν ἁπλότητι κόσμιον (§. τγʹ.) τῆς Ἱστορίας διέφθειρε καὶ κατῄσχυνεν, ἀλλὰ καὶ εἰς ὑπόνοιαν ψεύδους ἀνέβαλεν. Ἐνὸν ὑφορᾶσθαι δικαίως τοὺς μετιόντας, μήποτε ἄρα τὸν λόγον γυμνάζων (1), ἢ τισὶν ἀνελευθέρως χαριζόμενος (2), εἶτα ἡμῖν τῶν πράξεων, τὰς μὲν εἰς κλέος οὕτω μέγα ἤρατο καὶ ἐπύργωσε, τὰς δὲ τοὐναντίον καταστάσας τε καὶ κατερείψας τέλεον κατηυτέλισέ τε καὶ κατηχρείωσε, ποιητικώτερον πλαστουργήσας, ἢ διεξελθὼν λογικώτερον. καὶ τῇ ἡδύτητι τέρψαι, ἢ ὠφελῆσαι τῷ ἀληθεῖ προελόμενος.

§. τμʹ. Δόγματος δὲ προβαλλομένου, ἡ παρὰ τῶν ἄλλων μαρτυρία (κἂν πλεῖστοι ὦσιν οἱ κατατιθέμενοι, κἂν τῶν ἐνδοξοτάτων), οὐδὲν ἡμᾶς εἰς παραδοχὴν ἐπιστρέψει· ὅτι μὴ καθ' ἱστορίαν, πειθομένους μὲν, ὡς ἐκείνοις οὕτως ἐπῆλθε φρονεῖν, (τυχὸν δὲ οὐδ' ἀλόγως), οἷς καὶ πρεσβεύεσθαι λέγεται, ἐνδοιάζοντας δὲ ἅμα περὶ τοῦ αὐτοῖς δόξαντος, (Προδ. Βʹ. §. λέ. κζʹ.), καὶ τὴν ἐκ τῶν ἀποδείξεων κατασκευὴν καθ' ἑαυτοὺς πολυπραγμονοῦντας. Ἡ γὰρ ἐκ μαρτυρίας πίστις ἐπὶ τῶν τοιούτων χωρεῖ, ἐφ' ὧν οὐκ αἰσθήσει, οὐ συνειδήσει, οὐδὲ τῷ παρὰ τοῦ λόγου φωτὶ, ἐπὶ τοῦ ζητουμένου ἔνι προσχρήσασθαι. Οἱ δὲ τοῖς παρὰ τῶν ἄλλων δογματιζομένοις οὕτως εἰκῇ καὶ ἀκρίτως πιστεύοντες, τοῖς καὶ ὁρᾷν καταδεξαμένοις ἂν δι' ὀφθαλμῶν ἀλλοτρίων,

(1) „Πολλοὶ γὰρ παιδείας κλέος „ἀΐδιον μνώμενοι, ὅπως μὴ σιωπήσαντες λάθοιεν ἐς τὸν πολὺν ὅμιλον ἀριθμούμενοι, τῆς μὲν ἀληθείας ἐν „ταῖς ἀφηγήσεσιν ὀλιγώρησαν, οὐχ „ἥκιστα δὲ ἐπεμελήθησαν φράσεώς τε „καὶ εὐφωνίας. Θαῤῥοῦντες ὡς ἔτι καὶ „μυθώδες λέγοιεν, τὸ μὲν ἡδὺ τῆς „ἀκροάσεως αὐτοὶ καρπώσονται, τὸ δὲ „ἀκριβὲς τῆς ἐξετάσεως οὐκ ἐλεγχθήσεται. (Ἡρωδ. ἐν προοιμ. τῆς Ἱστορ.)

(2) „Ἐρατοσθένης ὁ Κυρηναῖος παρὰ Ἀῤῥιανῷ Βιβλ. έ. τοὺς Μακεδόνας „φησὶ, Παραπάμισον τὸ ὄρος, Καύκασον αὐτοὺς ἀποκαλέσαι, τῆς Ἀλεξάνδρου ἕνεκα δόξης, ὡς ὑπὲρ τὸν Καύκασον ἄρα ἐλθόντα τὸν Ἀλέξανδρον „ἐνδείξωνται. Ὃ δὴ καλῶς συνέβαλε „καὶ ὁ Γεωγράφος (Στράβ. Βιβλ. ΙΑʹ.) „τὰ γὰρ πρὸς τὸ ἔνδοξον θρυλληθέντα, „κἂν ὁμολογῆται παρὰ πάντων, οἱ δὲ „πλάσαντες ἦσαν, οἱ κολακείας μᾶλλον, ἢ ἀληθείας φροντίζοντες. οἷον „τὸ τὸν Καύκασον μετενεγκεῖν εἰς τὰ „Ἰνδικὰ ὄρη κτ.... ἦν γὰρ ἐνδοξότερον τὸ τὸν Ἀλέξανδρον μέχρι τῶν Ἰνδικῶν ὀρῶν καταστρέψασθαι τὴν Ἀσίαν „..... χαριεῖσθαι γάρ τι τῷ βασιλεῖ „ὑπέλαβον, τοὔνομα τοῦ ὄρους μετενέγκαντες εἰς τὴν Ἰνδικήν.



λοτρίων, δοκοῦσιμοι παραπλήσιοι. ἢ, ὃ ταυτόν ἐστὶ, τοῖς μηδὲν μὲν ὁρῶσιν, ὁρᾷν δὲ ὑπολαμβάνουσι.

§. τμαʹ. Περὶ τὰ ὑπὸ ΘΕΟΥ ἡμῖν, ἤτοι δογματικῶς, ἢ Ἱστορικῶς ἀποκαλυφθέντα ἐν πάσῃ Γραφῇ Θεοπνεύστῳ, ἣν ἡ Καθολικὴ Ἐκκλησία ἠσπάσατο κανονίσασα, τὸ καὶ ἐπὶ ποσὸν ἐνδοιάζειν, ἀσεβείας τῆς ἐσχάτης ἔλεγχός ἐστι. „Καὶ „γινέσθω ἄρα ὁ Θεὸς ἀληθὴς, πᾶς δὲ ἄνθρωπος ψεύστης. „ὅτι πιστὸς ὁ Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ. Καὶ τὰ λό„για αὐτοῦ λόγια ἁγνά· Ἀργύριον καὶ χρυσίον ἑπταπλασίως „πεπυρωμένον.

# ΚΕΦ. ΕΒΔΟΜΟΝ.

## Ὅπως τῶν παρ' ἑκάστοις Ἐθῶν τε καὶ Ἠθῶν, Ῥοπῶν τε ψυχῆς καὶ Ἐπικλίσεων τὴν δύναμιν, πιθανῶς ἐπικριτέον.

§. τμβʹ.

Οὐκ ἀπραγμόνως τὰ τῶν ἄλλων ἔθη τε καὶ ἤθη, καὶ τὰς ἐντεῦθεν ἑκάστου διαθέσεις, καὶ δυνάμεις ἐπικλίσεων, περισκοπεῖν εἰωθότας, δεῖ δήπου μηδὲ τούτων ἀλόγως, μηδ' ἔξω τοῦ πιθανοῦ, καὶ παρὰ τὸ προσῆκον ἐπιχειρεῖν τὴν ἐπίκρισιν, ἀλλ' ἐκείνων σημείων εἰκοτολογεῖν πειρᾶσθαι τῶν ἐν τῇ ψυχῇ κινημάτων καὶ βουλευμάτων τὰ λανθάνοντα, ὃ τῆς Πολιτικῆς εἰρημένης (§. τή.) Κριτικῆς ἔργον ὑπόκειται.

§. τμγʹ. Ἀλλ' ὁ μὲν περὶ τῶν παρ' ἑκάστοις τῶν ἐθνῶν, ἢ τῶν κατὰ πόλεις, ἐπικρατούντων ἐθίμων λόγος, ὡς ἄρα πρὸς τὰ νομιζόμενα τὴν ἀναφορὰν ἐχόντων, καθ' ἣν τὸ καλὸν, καὶ πρέπον καὶ εὐδόκιμον, ἢ μὴ, ἐν αὐτοῖς ἐπιθεωρεῖται, οὐ χαλεπὴν ἔχει τὴν διάσκεψιν, τοῖς τὸ ἐκ προλήψεως καὶ φιλαυτίας εἰς ἐξαπάτην πρόχειρον (§. Προδ. Βʹ. §. κϛʹ. κή. κζʹ.) διειλαβουμένοις, καὶ τῷ λόγῳ πάθους παντὸς καθαρεύοντι τὴν περὶ τούτων δίκην ἐφιεῖσιν. Ἅπαντες γὰρ μονονουχὶ ὧνπερ ἐθάδες εἰσὶν ἀγωγῆ τε καὶ χρόνῳ, οὐδὲ τὸ τυχὸν ἀνάσχοιντο ἂν, τῶν

 πα-